πάρεσιν αἱ μέθαι τελευτῶσιν, ὅταν ἐκπλήξῃ παντάπασιν
καὶ κατασβέσῃ τὸ θερμὸν ὁ ἄκρατος. ἰῶνταί γε μὴν τὰς
περὶ τὸ σῶμα τῶν μεθυσκομένων καὶ κραιπαλώντων
κακώσεις εὐθὺς μὲν ὥς ἔοικε περιστολῇ καὶ κατακλίσει
συνθάλποντες, μεθ' ἡμέραν δὲ λουτρῷ καὶ ἀλείμματι καὶ
σιτίοις, ὅσα μὴ ταράττοντα τὸν ὄγκον ἅμα πράως ἀνακα-
λεῖται τὸ θερμὸν ὑπὸ τοῦ οἴνου διεσπασμένον καὶ πεφυγα- F
δευμένον ἐκ τοῦ σώματος.'

'Ὅμως δ'' εἶπον 'ἐν τοῖς φαινομένοις καὶ ὁμοιότητας
ἀδήλους ἐξιχνεύωμεν καὶ δυνάμεις. οὐδὲν δὲ περὶ τῆς
μέθης δεῖ διαπορεῖν, ὁποῖόν ποτ' ἐστίν· ὡς γὰρ ἔοικεν
* . μάλιστα δ', ὡς εἰρήκαμεν, ἐοίκασι τοῖς πρεσβύταις οἱ
μεθύοντες· διὸ καὶ πρωιαίτατα γηρῶσιν οἱ φίλοινοι· τοὺς
δὲ πολλοὺς αὐτῶν καὶ φαλακρώσεις ἄωροι καὶ πολιαὶ
πρὸ ἡλικίας ἔχουσιν· πάντα δὲ ταῦτα δοκεῖ θερμότητος
ἐνδείᾳ καταλαμβάνειν τὸν ἄνθρωπον. ἔτι τοίνυν τὸ
ὄξος οἴνου τινός ἐστι φύσις καὶ δύναμις· οὐδὲν δὲ τῶν
σβεστηρίων ὄξους πυρὶ μαχιμώτερον, ἀλλὰ μάλιστα πάν-
των ἐπικρατεῖ καὶ συμπιέζει τὴν φλόγα δι' ὑπερβολὴν
ψυχρότητος. καὶ τῶν ἄλλων δὲ καρπῶν τοῖς οἰνώδεσι
μᾶλλον ὡς ψυκτικοῖς χρωμένους τοὺς ἰατροὺς ὁρῶμεν
ὥσπερ ῥόαις καὶ μήλοις. | αὐτὴν δὲ τὴν τοῦ μέλιτος **653**
φύσιν οὐχὶ πρὸς ὄμβριον ὕδωρ καὶ χιόνα συμμιγνύοντες
οἰνοποιοῦσι, τοῦ ψυχροῦ τὸ γλυκὺ διὰ συγγένειαν εἰς τὸ